18/08/2019

Το Ευαγγελικό ανάγνωσμα της Κυριακής

/ Ορθόδοξες Προβολές

Κατά Ματθαίον Ευαγγέλιο (ιδ΄ 22-49)

Καὶ εὐθέως ἠνάγκασεν ὁ Ἰησοῦς τοὺς μαθητὰς αὐτοῦ ἐμβῆναι εἰς τὸ πλοῖον καὶ προάγειν αὐτὸν εἰς τὸ πέραν, ἕως οὗ ἀπολύσῃ τοὺς ὄχλους. καὶ ἀπολύσας τοὺς ὄχλους ἀνέβη εἰς τὸ ὄρος κατ᾽ ἰδίαν προσεύξασθαι. ὀψίας δὲ γενομένης μόνος ἦν ἐκεῖ. τὸ δὲ πλοῖον ἤδη μέσον τῆς θαλάσσης ἦν, βασανιζόμενον ὑπὸ τῶν κυμάτων· ἦν γὰρ ἐναντίος ὁ ἄνεμος. τετάρτῃ δὲ φυλακῇ τῆς νυκτὸς ἀπῆλθε πρὸς αὐτοὺς ὁ Ἰησοῦς περιπατῶν ἐπὶ τῆς θαλάσσης. καὶ ἰδόντες αὐτὸν οἱ μαθηταὶ ἐπὶ τὴν θάλασσαν περιπατοῦντα ἐταράχθησαν λέγοντες ὅτι φάντασμά ἐστι, καὶ ἀπὸ τοῦ φόβου ἔκραξαν. εὐθέως δὲ ἐλάλησεν αὐτοῖς ὁ Ἰησοῦς λέγων· θαρσεῖτε, ἐγώ εἰμι· μὴ φοβεῖσθε. ἀποκριθεὶς δὲ αὐτῷ ὁ Πέτρος εἶπε· Κύριε, εἰ σὺ εἶ, κέλευσόν με πρός σε ἐλθεῖν ἐπὶ τὰ ὕδατα. ὁ δὲ εἶπεν, ἐλθέ. καὶ καταβὰς ἀπὸ τοῦ πλοίου ὁ Πέτρος περιεπάτησεν ἐπὶ τὰ ὕδατα ἐλθεῖν πρὸς τὸν Ἰησοῦν. βλέπων δὲ τὸν ἄνεμον ἰσχυρὸν ἐφοβήθη, καὶ ἀρξάμενος καταποντίζεσθαι ἔκραξε λέγων· Κύριε, σῶσόν με. εὐθέως δὲ ὁ Ἰησοῦς ἐκτείνας τὴν χεῖρα ἐπελάβετο αὐτοῦ καὶ λέγει αὐτῷ· ὀλιγόπιστε! εἰς τί

ἐδίστασας; καὶ ἐμβάντων αὐτῶν εἰς τὸ πλοῖον ἐκόπασεν ὁ ἄνεμος· οἱ δὲ ἐν τῷ πλοίῳ ἐλθόντες προσεκύνησαν αὐτῷ λέγοντες· ἀληθῶς Θεοῦ υἱὸς εἶ. Καὶ διαπεράσαντες ἦλθον εἰς τὴν γῆν Γεννησαρέτ.

Μετάφραση:

Και αμέσως ο Ιησούς ηνάγκασε τους μαθητάς να εισέλθουν στο πλοίον και να πάνε προ αυτού στο απέναντι μέρος, μέχρις ότου αυτός απολύση τα πλήθη του λαού. (Τούτο δε το έκαμε δια να μη παρασυρθούν και οι μαθηταί από τον άκριτον ενθουσιασμόν των ανθρώπων αυτών, που ήθελαν να τον ανακηρύξουν βασιλέα). Αφού δε διέλυσε τα πλήθη, ανέβη στο όρος, δια να προσευχηθή μόνος και απερίσπαστος. Οταν δε άρχισε να νυκτώνη, ήτο μόνος. Το δε πλοίον ευρίσκετο στο μέσον της θαλάσσης και εταλαιπωρείτο πολύ από τα κύματα, διότι ήτο αντίθετος ο άνεμος.
Κατά δε τα χαράματα, το τέταρτον τρίωρον της νυκτός, κατά τον χρόνον που η τετάρτη βάρδια των φρουρών ανελάμβανε υπηρεσίαν, ήλθεν ο Ιησούς προς τους μαθητάς περιπατών επάνω εις την θάλασσαν. Όταν δε τον είδαν οι μαθηταί να περιπατή επάνω εις την θάλασσαν, εταράχθησαν και έλεγαν ότι είναι φάντασμα και από τον φόβον έκραξαν. Αμέσως όμως ωμίλησεν ο Ιησούς προς αυτούς και τους είπε· “θάρρος, εγώ είμαι· μη φοβείσθε”. Απεκρίθη δε εις αυτόν ο Πετρος και είπε· “Κυριε, εάν είσαι συ, διάταξέ με να έλθω προς σε περιπατών επάνω εις τα νερά”. Ο δε Κυριος του είπε· “έλα”. Κατέβηκε ο Πετρος από το πλοίον και επεριπάτησε επάνω εις τα νερά, δια να έλθη στον Ιησούν. Όταν όμως είδε τον άνεμον ισχυρόν, εφοβήθη, εκλονίσθη η πίστις του, ήρχισε να βυθίζεται και εφώναξε δυνατά λέγων· “Κυριε σώσε με”. Αμεσως δε ο Ιησούς άπλωσε το χέρι του, τον έπιασε και του είπε· ολιγόπιστε διατί εκλονίσθης εις την πίστιν και εδειλίασες;” Οταν δε ανέβησαν στο πλοίον, έπαυσε ο άνεμος. Οι μαθηταί, που ήσαν στο πλοίον, ήλθαν, εγονάτισαν με σεβασμόν προς αυτόν και είπαν· “αληθινά συ είσαι Υιός του Θεού”. Και αφού διέσχισαν την θάλασσαν, ήλθαν εις την χώραν της Γεννησαρέτ.